Ἡ εὐχή τοῦ Ἁγίου Φωτός ὅπως εἶναι γνωστή ἀπό παλαιοτάτων χρόνων καί ὅπως ἀναγράφεται στό ἐπίσημο περιοδικό τοῦ Πατριαρχείου Ἱεροσολύμων "ΝΕΑ ΣΙΩΝ, (Τόμος ΞΒ', σελ. 235, στήν μελέτη τοῦ Ἀρχιμ. Καλλίστου Μηλιαρά γιά το Ἅγιο Φῶς).

Εὐχὴ ἀναγινωσκομένη ὑπὸ τοῦ Πατριάρχου
ἤ ἄλλου τινὸς τῶν Ἀρχιερέων ἐπὶ τοῦ Ζωοδόχου Τάφου,
ἐν καιρῷ τῆς διαδόσεως τοῦ Ἁγίου Φωτὸς.

-------------------------------

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ, ἡ ἀρχίφωτος σοφία τοῦ Ἀνάρχου Πατρὸς, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ εἰπὼν "γενηθήτω φῶς καὶ ἐγένετο φῶς", Κύριε ὁ τοῦ φωτὸς χορηγὸς, ὁ ἐξαγαγὼν ἡμᾶς ἀπὸ τοῦ σκότους τῆς πλάνης καὶ εἰσαγαγὼν εἰς τὸ θαυμαστὸν φῶς τῆς σῆς ἐπιγνώσεως, ὁ τὴν γὴν μὲν πᾶσαν διὰ τῆς ἐνσάρκου παρουσίας σου, τὰ καταχθόνια δὲ, διὰ τῆς εἰς ἅδην καταβάσεὼς σου φωτὸς πληρώσας καὶ χαρᾶς, μετὰ δὲ ταῦτα, διὰ τῶν ἁγίων σου Ἀποστόλων φῶς καταγγείλας πᾶσι τοῖς ἔθνεσιν, εὐχαριστούμεν σοι, ὅτι διὰ τῆς εὐσεβοῦς πίστεως μετήγαγες ἡμᾶς ἀπὸ σκότους εἰς φῶς καὶ γεγόναμεν υἱοὶ φωτὸς, διὰ τοῦ ἁγίου βαπτίσματος, θεασάμενοι τὴν δόξαν σου πλήρη οὖσαν χάριτος καὶ ἀληθείας. Ἀλλ' ὦ φωτοπάροχε Κύριε, ὁ τὸ μέγα φῶς ὤν, ὅ εἶδεν ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, Δέσποτα Κύριε, τὸ φῶς τὸ ἀληθινὸν, ὅ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· τὸ μόνον φῶς τοῦ κόσμου καὶ φῶς τῆς ζωῆς τῶν ἀνθρώπων οὗ ἀπὸ τῆς δόξης ἐπληρώθη τὰ σύμπαντα, ὅτι φῶς εἰς

τὸν κόσμον ἐλήλυθας διὰ τῆς ἐνσάρκου σου οἰκονομίας, εἰ καὶ οἱ ἄνθρωποι ἠγάπησαν μᾶλλον τὸ σκότος ἤ τὸ φῶς· σύ Κύριε φωτοδότα, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου, τῶν τῇ ὥρα ταύτη παρισταμένων τῷ Παναγίῳ σου καὶ Φωτοφόρῳ τούτῳ Τάφῳ καὶ πρόσδεξαι ἡμᾶς τιμῶντας τὰ ἄχραντα πάθη σου, τὴν Παναγίαν σου Σταύρωσιν, τὸν ἑκούσιον θάνατον καὶ τὴν ἐν τῷ Πανσεβάστῳ τούτῳ μνήματι τοῦ τεθεωμένου σου σώματος κατάθεσιν καὶ ταφὴν καὶ τριήμερον ἐξανάστασιν ἥν χαρμονικῶς ἤδη ἀρξάμενοι ἑορτάζειν μνείαν ποιοῦμεθα καὶ τῆς ἐν τῷ ἅδη καθόδου σου, δι' ἧς τὰς ἐκεῖσε τῶν δικαίων κατεχομένας ψυχὰς, δεσποτικῶς ἠλευθέρωσας τῇ ἀστραπῇ τῆς σῆς θεότητος, φωτὸς πληρώσας τὰ καταχθόνια. Ὅθεν δὴ ἀγαλλομένη καρδία καὶ χαρᾷ πνευματικῇ κατὰ τοῦτο τὸ ὑπερευλογημένον Σάββατον τὰ ἐν γῇ καὶ τὰ ὑπὸ γῆν θεοπρεπῶς τελεσθέντα σοι σωτηριωδέστατα μυστήριά σου ἑορτάζοντες καὶ σὲ τὸ ὄντως ἱλαρὸν καὶ ἐφετὸν φῶς ἐν τοῖς καταχθονίοις θεϊκῶς ἐπιλάμψαν ἐκ Τάφου δὲ θεοπρεπῶς ἀναλάμψαν ἀναμιμνησκόμενοι φωτοφάνειαν ποιούμεθα, σοῦ τὴν περὶ ἡμᾶς συμπαθῶς γενομένην θεοφάνειαν εἰκονίζοντες. Ἐπειδὴ γὰρ ταύτῃ τῇ σωτηρίῳ καὶ φωταυγεῖ νυκτὶ, πάντα πεπλήρωται φωτὸς, οὐρανὸς τε καὶ γῆ καὶ τὰ καταχθόνια, διὰ τὸ ὑπερφυὲς μυστήριον τῆς ἐν ἅδη καθόδου σου καὶ τῆς ἐκ Τάφου σου τριημέρου ἀναστάσεως διὰ τοῦτο ἐκ τοῦ ἐπὶ τοῦτον τὸν φωτοφόρον σου Τάφον, ἐνδελεχῶς καὶ ἀειφώτως ἐκκαιομένου φωτὸς εὐλαβῶς λαμβάνοντες διαδιδόαμεν, τοῖς πιστεύουσιν εἰς σὲ τὸ ἀληθινὸν φῶς, καὶ παρακαλοῦμεν καὶ δεόμεθὰ σου Πανάγιε Δέσποτα ὅπως ἀναδείξῃς αὐτὸ ἁγιασμοῦ δῶρον καὶ πάσης θεϊκῆς σου χάριτος πεπληρωμένον διὰ τῆς χάριτος τοῦ Παναγίου καὶ Φωτοφόρου Τάφου σου, καὶ τοὺς ἁπτομένους εὐλαβῶς αὐτοῦ, εὐλογήσῃς καὶ

ἁγιάσης, τοῦ σκότους τῶν παθῶν ἐλευθερῶν καὶ φωτεινοτάτων σου σκηνῶν καταξιώσης ὅπου φῶς τὸ ἀνέσπερον τῆς σῆς θεότητος λάμπει. Χάρισαι αὐτοῖς Κύριε ὑγείαν καὶ εὐζωϊαν καὶ τοὺς οἴκους αὐτῶν παντὸς ἀγαθοῦ πλήρωσον. Ναὶ Δέσποτα Φωτοπάροχε, ἐπάκουσόν μου τοῦ ἁμαρτωλοῦ ἐν τῇ ὥρα ταύτη καὶ δὸς ἡμῖν τε καὶ αὐτοῖς περιπατεῖν ἐν τῶ φωτὶ σου καὶ ἐν αὐτῶ μένειν, ἕως τὸ φῶς τῆς προσκαίρου ταύτης ζωῆς ἔχομεν. Δὸς ἡμῖν Κύριε ἵνα τὸ φῶς τῶν καλῶν ἔργων ἡμῶν λάμπη ἔμπροσθεν τῶν ἀνθρώπων καὶ δοξάζουσὶ σε σὺν τῶ Ἀνάρχω σου Πατρὶ καὶ τῶ Παναγίω Πνεύματι, εἰς φῶς γὰρ ἐθνῶν ἡμᾶς τέθηκας, ἵνα αὐτοῖς ἐν σκοτεία περιπατοῦσι φαίνωμεν. Ἀλλ' ἡμεῖς ἠγαπήσαμεν τὸ σκότος μᾶλλον ἤ τὸ φῶς φαῦλα πράσσοντες, πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς κατὰ τὸν ἀψευδῆ λόγον σου· διὰ τοῦτο ὁσημέραι προσκόπτομεν ἁμαρτάνοντες, ἐπειδὴ περιπατοῦμεν ἐν τῆ σκοτεία. Ἀλλ' ἀξίωσον ἡμᾶς τὸ ὑπόλοιπον τῆς ζωῆς ἡμῶν βιωτεῦσαι πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν ἔχοντας. Δὸς ἡμῖν ἵνα ὡς τέκνα φωτὸς περιπατήσωμεν ἐν τῶ φωτὶ τῶν ἐντολῶν σου· Τὸ τοῦ ἁγίου βαπτίσματος φωτεινὸν ἔνδυμα ὅπερ διὰ τῶν ἔργων ἠμαυρώσαμεν λεύκανον ὡς τὸ φῶς, ὁ ἀναβαλλόμενος τὸ φῶς ὥσπερ ἱμάτιον. Δὸς ἡμῖν ἐνδύσασθαι τὰ ὅπλα τοῦ φωτὸς ἵνα δι' αὐτῶν τὸν ἄρχοντα τοῦ σκότους τροπούμεθα, ὅς μετασχηματίζεται εἰς ἄγγελον φωτὸς. Ναὶ Κύριε, καὶ ὡς ἐν ταύτη τῆ ἡμέρα τοῖς ἐν σκότει καὶ σκιὰ θανάτου καθημένοις φῶς ἔλαμψας, οὕτω σήμερον λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τὸ σὸν ἀκήρατον φῶς ἵνα διὰ τούτου φωτιζόμενοι καὶ θερμαινόμενοι ἐν τῆ πίστει, δοξάζομὲν σε τὸ μόνον ἐκ μόνου τοῦ ἀρχιφώτου φωτὸς ἱλαρὸν φῶς εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμὴν.

---------------------------